τὼς Λαρισαίως κυτογάστορας ἑψητῆρας
καὶ χύτρως καὶ τὰν εὐρυχαδῆ κύλικα
καὶ τὰν εὐχάλκωτον ἐύγναμπτόν τε κρεάγραν
καὶ κνῆστιν καὶ τὰν ἐτνοδόνον τορύναν.
Λαβροσύνα, σὺ δὲ ταῦτα κακοῦ κακὰ δωρητῆρος
δεξαμένα νεύσαις μήποκα σωφροσύναν.

## LVII

τὸν χαρίεντ' Ἀλκμᾶνα, τὸν ὑμνητῆρ' ὑμεναίων
κύκνον, τὸν Μουσέων ἄξια μελψάμενον
τύμβος ἔχει, Σπάρτας μεγάλαν χάριν †εἴθ' ὅ γε λύσθος†
ἄχθος ἀπορρίψας οἴχεται εἰς Ἀίδαν.

## LVIII

ἀτρέμα τὸν τύμβον παραμείβετε, μὴ τὸν ἐν ὕπνῳ
πικρὸν ἐγείρητε σφῆκ' ἀναπαυόμενον·
ἄρτι γὰρ Ἱππώνακτος ὁ καὶ τοκεῶνε βαΰξας,
ἄρτι κεκοίμηται θυμὸς ἐν ἡσυχίῃ.
ἀλλὰ προμηθήσασθε, τὰ γὰρ πεπυρωμένα κείνου
ῥήματα πημαίνειν οἶδε καὶ εἰν Ἀίδῃ.